τοῦτ᾽ ἀνάγκη χωλὴν γίγνεσθαι τὴν ἀρετήν. ἡ μὲν γὰρ φύσις
ἄνευ μαθήσεως τυφλόν, ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές,
ἡ δ᾽ ἄσκησις χωρὶς ἀμφοῖν ἀτελές. ὥσπερ δὲ τῇ γεωργίᾳ
πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν
ἐπιστήμονα, εἶτα σπέρματα σπουδαῖα, τὸν αὐτὸν τρόπον γῇ
μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δ᾽ ὁ παιδεύων, σπέρματι δ᾽ αἱ
τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα. ταῦτα πάντα δια-
τεινάμενος ⟨ἂν⟩ εἴποιμι ὅτι συνῆλθε καὶ συνέπνευσεν εἰς τὰς
τῶν παρ᾽ ἅπασιν ᾀδομένων ψυχάς, Πυθαγόρου καὶ Σωκρά- C
τους καὶ Πλάτωνος καὶ τῶν ὅσοι δόξης ἀειμνήστου τετυχή-
κασιν. εὔδαιμον μὲν οὖν καὶ θεοφιλὲς εἴ τῳ ταῦτα πάντα
θεῶν τις ἀπέδωκεν. εἰ δέ τις οἴεται τοὺς οὐκ εὖ πεφυκότας
μαθήσεως καὶ μελέτης τυχόντας ὀρθῆς πρὸς ἀρετὴν οὐκ ἂν
τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τοὐνδεχόμενον ἀναδραμεῖν,
ἴστω πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνων. φύσεως
μὲν γὰρ ἀρετὴν διαφθείρει ῥᾳθυμία, φαυλότητα δ᾽ ἐπανορθοῖ
διδαχή· καὶ τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας φεύγει, τὰ δὲ χα-
λεπὰ ταῖς ἐπιμελείαις ἁλίσκεται. καταμάθοις δ᾽ ἂν ὡς ἀνύσι-
μον πρᾶγμα καὶ τελεσιουργὸν ἐπιμέλεια καὶ πόνος ἐστίν, ἐπὶ D
πολλὰ τῶν γινομένων ἐπιβλέψας. σταγόνες μὲν γὰρ ὕδατος
πέτρας κοιλαίνουσι, σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν
χειρῶν ἐκτρίβονται, οἱ δ᾽ ἁρμάτειοι τροχοὶ τόρνῳ καμφθέντες
οὐδ᾽ ἂν εἴ τι γένοιτο τὴν ἐξ ἀρχῆς δύναιντο ἀναλαβεῖν εὐθυω-
ρίαν· τάς γε μὴν καμπύλας τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύ-
νειν ἀμήχανον, ἀλλὰ τὸ παρὰ φύσιν τῷ πόνῳ τῶν κατὰ φύσιν
ἐγένετο κρεῖττον. καὶ μόνα ἆρα ταῦτα τὴν τῆς ἐπιμελείας
ἰσχὺν διαδείκνυσιν; οὔκ, ἀλλὰ καὶ μυρία ἐπὶ μυρίοις. ἀγαθὴ
γῆ πέφυκεν· ἀλλ᾽ ἀμεληθεῖσα χερσεύεται, καὶ ὅσῳ τῇ φύσει
βελτίων ἐστί, τοσούτῳ μᾶλλον ἐξαργηθεῖσα δι᾽ ἀμέλειαν ἐξ- E